τοῖς γένεσιν, ἀλλὰ λαμβάνεται γένος τί γενικώτατον· οὐδ' ἔστι κατιέναι ἐπ' ἄπειρον ἐν τοῖς εἴδεσιν, ἀλλ' ἔστιν ἵστασθαι ἐν τῷ εἰδικωτάτῳ εἴδει. Ὅθεν τὸ γενικώτατον γένος ἐστὶν ἀρχή, τὸ δὲ εἰδικώτατον εἶδος ὥσπερ ὅρος καὶ πέρας ἐν τοῖς ὁρισμοῖς. Καὶ οὕτω φαίνεται, ὅτι πᾶσα νόησις ἀρχὴν ἔχει καὶ τέλος ἐνεργείᾳ· καὶ τοῦτό ἐστιν ὅ φησιν· Ἀναγκαῖον δ' εἶναι.

Ἔτι δὲ εἰ ἡ αὐτή. Ἐνταῦθα τίθησι τὸν πέμπτον λόγον, ἠρτημένον τρόπῳ τινὶ τοῦ προεκτεθειμένου, καὶ ἔστιν ὡσανεὶ μέλος τι ἐκείνου. Ἀνωτέρω γὰρ δέδεικται, ὅτι εἰ ὁ νοῦς κύκλος ἐστίν, ὡς ὁ Πλάτων ἔθετο, ἡ νόησις ἔσται περιφορά· καὶ ἀπέδειξεν, ὅτι ἡ νόησις οὐκ ἔστι περιφορά. Τοῦτο οὖν αὐτὸ κἀνταῦθα δεικνύει λόγῳ τοιῷδε. ὁρῶμεν ὅτι αὕτη ἡ διαφορὰ ἐστὶ μεταξὺ τῆς περιφορᾶς καὶ τῶν ἄλλων κινήσεων, ὅτι ἀδύνατον ἐστὶν ἐν ταῖς ἄλλαις κινήσεσιν μίαν καὶ τὴν αὐτὴν κίνησιν ἐπανέρχεσθαι ἐπὶ τῆς αὐτῆς ποσότητος πολλάκις· καὶ τοῦτο φανερὸν δι' ἐπαγωγῆς ἐκ τῶν εἰδῶν τῆς κινήσεως. Ἐν γὰρ τῇ ἀλλοιώσει ἀδύνατον τὴν αὐτὴν κίνησιν ἐπὶ ταὐτὸ ἐπανέρχεσθαι· οὐ γὰρ τὸ αὐτὸ κατὰ ταὐτὸ ἐκ λευκοῦ γίνεται μέλαν, καὶ ἐκ μέλανος λευκόν. Κἀν τῇ κινήσει δὲ τῆς αὐξήσεως ἀδύνατον ἐστὶν ἓν καὶ τὸ αὐτὸ κατὰ ταὐτὸ αὔξειν καὶ μειοῦσθαι. Κἀν τῇ κατὰ τόπον κινήσει ἀδύνατον ἐστὶ τὴν αὐτὴν κίνησιν κατὰ ταὐτὸν ἐπανέρχεσθαι, διότι ἐν τῇ τοπικῇ κινήσει τῇ κατ' εὐθεῖαν ἀεὶ εἰσὶ δύο πέρατα ἐνεργείᾳ· ὅθεν εἰ ἐπανέρχοιτο, δεῖ τῷ πέρατι, τῷ πρὸς ὅ, χρῆσθαι δίς, ὡς τέλει δηλονότι καὶ ὡς ἀρχῇ, καὶ ἐξ ἀνάγκης μεσιτεύσειεν ἂν ἐκεῖ καὶ ἠρεμία, καὶ οὕτως οὐκ ἂν εἴη ἡ αὐτὴ τῷ ἀριθμῷ κίνησις. Ἐν τῇ περιφορᾷ δὲ μόνον τοῦτο δείκνυται, ὅτι μία καὶ ἡ αὐτὴ κίνησις κατὰ τὴν αὐτὴν ποσότητα πολλάκις ἐπάνεισιν, | οὗ λόγος ἐστίν, ὅτι ἐν τῇ περι- f. 281
φορᾷ οὐκ εἰσὶ πέρατα τινὰ ἐνεργείᾳ, καὶ διὰ τοῦτο, κἂν ὁπόσον ἐπανέρχοιτο, οὐ μεσιτεύσει ἠρεμία οὐδὲ πολλαπλασιασθήσεται ἡ κίνησις. Ἐκ τούτου τοίνυν οὕτως ἐπιχειρεῖ· σὺ λέγεις, ὅτι ὁ νοῦς ἐστὶ κύκλος· οὐκοῦν καὶ ἡ νόησις, περιφορά· ἀλλ' ἄτοπον τὸ τὴν νόησιν εἶναι περιφοράν· οὐκοῦν καὶ τὸ πρῶτον. Ὅτι δὲ ἄτοπον, οὕτω δείκνυσιν· φανερὸν ὅτι ἡ αὐτὴ περιφορὰ καθ' ἓν καὶ τὸ αὐτὸ πολλάκις ἐστί, τουτέστιν ἐπάνεισι· οὐκοῦν εἰ ἡ νόησις ἐστὶ περιφορά, ὡς σὺ λέγεις, ἡ νόησις πολλάκις κατὰ μίαν καὶ τὴν αὐτὴν κίνησιν καὶ ἐπὶ τοῦ αὐτοῦ ἐπανακυκλήσεται, καὶ οὕτω πολλάκις νοήσει τὸ αὐτό. Ὁ νοῦς γὰρ κινῶν ἑαυτὸν ἅπτεται, καὶ ἁπτόμενος ἑαυτοῦ νοεῖ, ὡς αὐτοὶ λέγουσιν, καὶ κυκλικῶς πολλάκις ἅπτεται τοῦ αὐτοῦ, καὶ οὕτω πολλάκις νοήσει τὸ αὐτό, ὅπερ ἐστὶν ἄτοπον.

Ἔτι δὲ ἡ νόησις. Ἐνταῦθα τίθησι τὸν ἕκτον λόγον, ὄντα τοιοῦτον. Εἰ ἡ νόησις ἐστὶ περιφορά, ὡς σὺ λέγεις, δεῖ ἀφομοιοῦσθαι αὐτὴν

---

22 *ὡς* avant *ἀρχῇ* om B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῇ κινήσει· ἀλλ' ἡμεῖς ὁρῶμεν πᾶν τοὐναντίον, ὅτι ἡ νόησις μᾶλλον ὡμοίωται τῇ ἠρεμίᾳ ἢ τῇ κινήσει· ἡ νόησις ἄρα οὐκ ἔστι περιφορά. Ὅτι δὲ μᾶλλον ὡμοίωται τῇ ἠρεμίᾳ ἢ τῇ κινήσει, δῆλον ἐντεῦθεν. Ὡς γὰρ αὐτός φησιν ἐν τῷ ἕκτῳ τῶν φυσικῶν, οὐ δύναταί γίνεσθαί τις σοφός, ὅταν αἱ κινήσεις αὐτοῦ μὴ    μηδὲ ἠρεμήσωσιν· ὅθεν ἐν τοῖς παισὶ καὶ ἐν πᾶσιν ἐν οἷς αἱ κινήσεις οὐκ ἠρεμοῦσιν, οὐ ῥᾳδίως εὑρίσκεται ἡ σοφία, ἀλλὰ τότε τις τυγχάνει σοφίας, ὅταν ἠρεμῇ. Ὅθεν φησὶν ὅτι ἐν τῷ καθῆσθαι καὶ ἠρεμεῖν ἡ ψυχὴ σοφὴ γίνεται καὶ φρόνιμος. Ἀλλὰ διότι δυνατὸν ῥηθῆναι, ὅτι τοῦτο ἐστὶν ἀληθὲς περὶ τῆς ἁπλῆς νοήσεως, οὐχὶ δὲ καὶ περὶ τοῦ συλλογισμοῦ, ὅς ἐστι διεξοδικὴ νόησις, διὰ τοῦτο ὁ Ἀριστοτέλης φησίν, ὅτι τὸν αὐτὸν τρόπον καὶ ὁ συλλογισμὸς ἔοικεν ἠρεμίᾳ μᾶλλον ἢ κινήσει, καὶ τοῦτο δείκνυται. Πρὸ γὰρ τοῦ συλλογίσασθαι περί τινος πράγματος, ὁ νοῦς καὶ ἡ διάνοια τοῦ ἀνθρώπου οἷον εἰπεῖν κυμαίνεται, καὶ ποτὲ μὲν πρὸς ἕν, ποτὲ δὲ πρὸς θάτερον πίπτει μέρος, καὶ οὐκ ἠρεμεῖ ἔν τινι. Ἀλλ' ὅταν ἤδη συλλογισθῇ, διωρισμένως προσφύεται τῷ ἑνὶ μέρει, καὶ ἠρεμεῖ ἐν ἐκείνῳ.

Ἀλλὰ μὴν οὐδέ. Ἐνταῦθα τίθησι τὸν ἕβδομον λόγον, τοιοῦτον ὄντα. Φανερόν ἐστιν, ὅτι ἡ μακαριότης τῆς ψυχῆς ἔστιν ἐν τῷ νοεῖν· ἀλλ' ἡ μακαριότης οὐ δύναται εἶναι ἐν τῷ βιαίῳ καὶ παρὰ φύσιν, ἐπεί ἐστι τελειότης τῆς ψυχῆς. Ἐπεὶ τοίνυν ἡ κίνησις οὐκ ἔστι κατὰ τὴν φύσιν καὶ τὴν οὐσίαν τῆς ψυχῆς ἀλλὰ παρὰ τὴν αὐτῆς φύσιν, ἀδύνατον ἐστὶ τὸ νοεῖν, ὅπερ ἐστὶν ἐνέργεια τῆς ψυχῆς καὶ ἐν ᾧ ἐστιν ἡ μακαριότης αὐτῆς, εἶναι κίνησιν, ὡς ὁ Πλάτων ἔλεγεν. Ὅτι δὲ ἡ κίνησις ἐστὶ παρὰ τὴν φύσιν τῆς ψυχῆς, δῆλον ἐκ τῆς θέσεως τοῦ Πλάτωνος. Αὐτὸς γὰρ εἶπε τὴν ψυχὴν συγκεῖσθαι ἐκ τῶν ἀριθμῶν, καὶ μετὰ ταῦτα εἶπεν αὐτὴν διηρῆσθαι εἰς δύο κύκλους, καὶ τούτους ἀνέκαμψεν εἰς ἑπτά, καὶ ἐκ τούτου ἀκολουθεῖ ἡ κίνησις· ἐξ οὗ φαίνεται ὅτι ἡ κίνησις οὐκ ἔνεστιν αὐτῇ φύσει ἀλλὰ κατὰ συμβεβηκός.

Ἐπίπονον δέ. Ἐνταῦθα τίθησι τὸν ὄγδοον λόγον, τοιοῦτον ὄντα. Δοκεῖ, κατὰ τὴν θέσιν τοῦ Πλάτωνος, τὴν ψυχὴν κατὰ τὴν ἑαυτῆς φύσιν μὴ εἶναι ἡνωμένην σώματι· αὐτὸς γὰρ ἔθετο αὐτὴν πρῶτον συνεστάναι ἐκ τῶν στοιχείων, καὶ μετὰ ταῦτα συμπεπλέχθαι καὶ ἡνῶσθαι σώματι, κἀκεῖθεν μὴ δύνασθαι ἀποχωρεῖν, ὅτε βούλεται. Ἐντεῦθεν τοίνυν ἐπιχειρητέον οὕτως· ὅταν ᾖ τι ἡνωμένον τινὶ ἐναντίως τῇ ἑαυτοῦ φύσει καὶ μὴ δύνηται ἐκεῖθεν, ὅτε βούλεται, ἐξιέναι, ἐπίπονον ἐστὶ τοῦτο καὶ τιμωρητικόν· καὶ ὅταν τὶ ἐν τῇ πρός τι ἑνώσει χεῖρον ἑαυτοῦ γίνηται, φευκτόν ἐστι καὶ βλαβερόν· ἀλλὰ ἡ ψυχὴ ἑνοῦται τῷ σώματι ἐναντίως τῇ ἑαυτῆς

---

5 Blanc laissé pour la traduction du verbe *resident* AB    36 *ἑνώσει αὑτοῦ χεῖρον* B

Ε.Υ.Δ τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φύσει, ὡς εἴρηται, οὐδὲ δύναται ἐκεῖθεν ἀποχωρῆσαι, ὅτε βούλεται· ἔτι τε χείρων ἑαυτῆς ἐν τῇ πρὸς τὸ σῶμα ἑνώσει γίνεται, ὡς εἴωθεν ὑπὸ τῶν Πλατονικῶν λέγεσθαι καὶ τοῖς πολλοῖς συνδοκεῖ· ἐπίπονον ἄρα καὶ τιμωρητικὸν τῇ ψυχῇ τὸ μετὰ σώματος εἶναι, καὶ ἔτι φευκτόν· οὐκ ἄρα ἁρμόζει τὸ ῥηθὲν ὑπὸ Πλάτωνος, ὅτι δηλονότι ἡ ψυχὴ συντεθεῖσα ἐκ τῶν στοιχείων, πρῶτον συμμίγνυται τῷ σώματι.

Ἄδηλος δὲ καὶ τοῦ. Ἐνταῦθα τίθησι τὸν ἔννατον λόγον τοιοῦτον ὄντα. Ὁ Πλάτων διαλέγεται περὶ τῆς τοῦ παντὸς ψυχῆς, | καί φησιν f. 281v ἐκείνην κινεῖσθαι κυκλικῶς· ἀλλὰ κατὰ τὴν αὐτοῦ δόξαν ἡ αἰτία τοῦ τὸν οὐρανὸν κινεῖσθαι κυκλικῶς ἐστὶν ἄδηλος, τουτέστιν οὐκ ἀποδίδοται. Εἰ γὰρ κινεῖται ὁ οὐρανὸς κυκλικῶς, τοῦτο ἢ διὰ τὰς ἀρχὰς ἔσται φυσικῶς, ἢ διὰ τὸ τέλος. Εἰ λέγεται, ὅτι φυσικῶς διὰ τὰς ἀρχάς, ἢ διὰ τὴν φύσιν τῆς ψυχῆς ἔσται τοῦτο, ἢ διὰ τὴν φύσιν τοῦ οὐρανίου σώματος· ἀλλὰ διὰ τὴν φύσιν τῆς ψυχῆς οὐκ ἔστι, διότι τὸ κινεῖσθαι κυκλικῶς οὐκ ἔνεστι τῇ ψυχῇ κατὰ τὴν αὐτῆς οὐσίαν ἀλλὰ κατὰ συμβεβηκός, διότι, ὡς εἴρηται, ἡ ψυχὴ κινεῖται καθ' αὑτὴν καὶ κατὰ τὴν ἑαυτῆς οὐσίαν κινήσει εὐθείᾳ καὶ μετὰ ταῦτα τὴν εὐθυωρίαν εἰς κύκλους κατέκαμψε· καὶ μὴν οὐδὲ διὰ τὴν φύσιν αὐτοῦ τοῦ οὐρανίου σώματος, διότι τὸ σῶμα οὐκ ἔστιν αἰτία τῆς κινήσεως τῆς ψυχῆς, ἀλλ' ἡ ψυχὴ μᾶλλον ἐστὶ τῷ σώματι αἰτία τοῦ κινεῖσθαι. Εἰ δὲ λέγεται, ὅτι διὰ τὸ τέλος, οὐ δύναται ἀφορίζεσθαι τέλος τι διωρισμένον κατ' αὐτόν, δι' ὃ κινεῖται οὕτως καὶ οὐκ ἄλλῃ κινήσει, εἰ μὴ ὅτι ὁ Θεὸς οὕτως ἠθέλησεν αὐτὸν κινεῖσθαι. Ἀλλ' ὁ Θεὸς διά τινα αἰτίαν ἠξίωσε τὸν οὐρανὸν μᾶλλον κινεῖσθαι ἢ κινεῖν καὶ κινεῖσθαι οὕτως, τουτέστι κυκλικῶς, ἢ ἄλλῃ κινήσει, ἥντινα αἰτίαν ὁ Πλάτων οὐκ ἀποδίδωσιν. Καὶ διότι τὸ ταύτην ἀποδιδόναι ἐστὶν οἰκειότερον ἄλλων λόγων, τουτέστιν ἄλλης πραγματείας τῆς περὶ οὐρανοῦ, διὰ τοῦτο ταύτην ἀφῶμεν κατὰ τὸ παρόν.

Ἐκεῖνο δὲ ἄτοπον. Ἐνταῦθα τίθησι τὸν δέκατον λόγον, οὐ μόνον κατὰ Πλάτωνος ὄντα, ἀλλ' ἔτι καὶ κατὰ πολλῶν ἄλλων, καὶ ἀπάγει ὁ λόγος οὗτος πρὸς ἄτοπα, καὶ δείκνυσι τοὺς λόγους ἐκείνων οὐκ ὄντας ἑαυτοῖς ἱκανούς. Καὶ ἔστι τοιοῦτος· φανερὸν ὅτι μεταξὺ τοῦ κινοῦντος καὶ κινουμένου ἐστὶν ἀναλογία τις, καὶ μεταξὺ τοῦ ποιοῦντος καὶ πάσχοντος, καὶ τοῦ εἴδους καὶ τῆς ὕλης ὁμοίως· οὐ γὰρ πᾶν εἶδος παντὶ σώματι ἁρμόζει καὶ ἑνοῦται, οὐδὲ πᾶν ποιοῦν δρᾷ ἐν παντὶ πάσχοντι, οὐδὲ πᾶν τὸ κινοῦν ἅπαν κινεῖ κινητόν, ἀλλὰ δεῖ εἶναί τινα ἐν αὐτοῖς κοινωνίαν καὶ ἀναλογίαν, ἐξ ἧς τὸ μὲν πέφυκε κινεῖν, τὸ δὲ κινεῖσθαι. Φαίνεται δὲ ὅτι οἱ φιλόσοφοι οὗτοι ἔθεντο τὴν ψυχὴν εἶναι ἐν σώματι καὶ κινεῖν τὸ σῶμα. Ἐπεὶ τοίνυν διαλέγονται περὶ τῆς φύσεως τῆς ψυχῆς, δοκεῖ ἀναγ-

---

24 *τινὶ* après *ἄλλῃ* add B   37-38 *καὶ κινητὸν σῶμα* B



Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καῖον ἂν εἶναι εἰ καί τι εἶπον περὶ τῆς τοῦ σώματος φύσεως, διὰ τίνα αἰτίαν ἑνοῦται τῷ σώματι, καὶ πῶς ποτε ἔχει τὸ σῶμα πρὸς αὐτήν, καὶ πῶς παραβάλλεται τὸ σῶμα πρὸς τὴν ψυχήν. Οὐκ ἄρα ἱκανῶς διορίζονται περὶ τῆς ψυχῆς, πειρώμενοι λέγειν μόνον ποῖον τί ἐστιν ἡ ψυχή, ἀμελοῦντες δὲ δεικνύναι ποῖον τί ἐστι τὸ ὑποδεχόμενον αὐτὴν σῶμα· ἐξ οὗ συμβαίνει αὐτοῖς τὸ ἐν τοῖς Πυθαγορικοῖς μύθοις περιεχόμενον, τὸ τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν ἐνδύεσθαι σῶμα, οἷον εἰ τύχοι εἰς τὸ τοῦ ἐλέφαντος σῶμα εἰσιέναι τὴν τῆς μυΐας ψυχήν· ὅπερ οὐ δύναται εἶναι, ἐπεὶ ἕκαστον τῶν σωμάτων, καὶ μάλιστα τῶν ζῴων, ἔχει ἰδίαν μορφὴν καὶ ἴδιον εἶδος, καὶ ἴδιον μὲν κινοῦν, ἴδιον δὲ κινητόν, καὶ πολὺ διαφέρει τὸ τοῦ σκώληκος σῶμα τοῦ σώματος τοῦ κυνός, καὶ τὸ σῶμα τοῦ ἐλέφαντος τοῦ σώματος τοῦ κώνωπος. Τοῦτο μέντοι γε λέγοντες, τὸ τὴν ψυχὴν δηλονότι τὴν τυχοῦσαν εἰς τὸ τυχὸν εἰσέρχεσθαι σῶμα, λέγουσιν ὅμοιον ὥσπερ ἂν εἴ τις εἴποι τὴν τεκτονικὴν εἰς τοὺς αὐλοὺς εἰσέρχεσθαι, ἢ τὴν χαλκευτικὴν ἐν τοῖς ὑφάσμασιν, καὶ ὅμως εἰ ταύταις ταῖς τέχναις φύσις ἐνῆν ἐνδύεσθαι εἰς σώματα ἢ ὄργανα ἐξ ἑαυτῶν, οὐχ ἡ τυχοῦσα εἰς τὸ τυχὸν ἂν εἰσῆλθεν, ἀλλ' ἡ αὐλητικὴ εἰσῆλθεν εἰς τοὺς αὐλούς, οὐκ εἰς τὰς λύρας, καὶ ἡ κιθαριστικὴ εἰς κιθάρας, οὐκ εἰς αὐλούς· τὸν αὐτὸν δὲ τρόπον, εἰ ἑκάστῃ ψυχῇ ἐστι σῶμα, ἑκάστη ψυχὴ ἴδιον ἐνδύεται σῶμα, μᾶλλον δὲ αὐτὴ ἡ ψυχὴ τὸ ἁρμόζον ἑαυτῇ μορφοῖ σῶμα, καὶ οὐ προσλαμβάνει ἡτοιμασμένον.

Οὕτω τοίνυν ὁ Πλάτων καὶ οἱ ἄλλοι φιλόσοφοι, διαλεχθέντες μόνον περὶ τῆς φύσεως τῆς ψυχῆς, οὐχ ἱκανῶς εἰρήκασι, μὴ διορισάμενοι τί ἂν σῶμα εἴη τὸ ἁρμόζον ἑκάστῃ ψυχῇ, καὶ πῶς καὶ ποταπὸν τυγχάνον ἑνοῖτο ἂν αὐτῇ.

## Leçon IX.

Καὶ ἄλλη δέ τις δόξα. Ἀποδοκιμάσας ὁ Φιλόσοφος τὴν δόξαν τοῦ Πλάτωνος, ἐνταῦθα ἑπομένως ἀποδοκιμάζει τινὰ ἄλλην δόξαν ὁμοειδῆ τῇ δόξῃ τοῦ Πλάτωνος ὅσον κατά τι. Γεγόνασι γάρ τινές, οἵτινες εἶπον τὴν ψυχὴν εἶναι ἁρμονίαν καὶ οὗτοι συνεφώνουν μετὰ τοῦ Πλάτωνος ἐν τούτῳ, ὅτι ὁ Πλάτων τὴν ψυχὴν εἶπε συγκεῖσθαι ἐκ τῶν ἁρμονικῶν ἀριθμῶν, ἐκεῖνοι δὲ ὅτι ἐστὶν ἁρμονία· Ἀλλὰ διεφέροντο κατὰ τοῦτο, ὅτι
f. 282 ὁ μὲν Πλάτων | εἶπεν εἶναι αὐτὴν ἁρμονίαν ἀριθμῶν, ἐκεῖνοι δὲ ἁρμονίαν συνθέντων τε καὶ ἐναντίων. Καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, τίθησι τὴν δόξαν αὐτῶν καὶ τὸν λόγον τῆς δόξης· δεύτερον, διαλέγεται κατὰ τῆς δόξης ἐν τῷ· Καίτοι γε ἡ μὲν ἁρμονία· τρίτον, δείκνυσι πῶς αὕτη ἡ δόξα πιθανή ἐστιν, ἐν τῷ· Εἰ δ' ἔστιν ἕτερον. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, τίθησι τὴν εἰρημένην δόξαν περὶ ψυχῆς· δεύτερον,

3 *διορίζονται* corrigé de *ἀποδιδόασι* B 4 *τῆς* om B

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τίθησι τὴν αἰτίαν ταύτης τῆς δόξης· Καὶ γὰρ τὴν ἁρμονίαν. Τίθησι τοίνυν τὴν εἰρημένην δόξαν περὶ ψυχῆς, λέγων ὅτι παραδέδοται παρὰ τῶν ἀρχαίων δόξα τις περὶ ψυχῆς δοκοῦσα λόγους ἔχειν ὀρθούς, καὶ οὐ μόνον εἰδικῶς περὶ τῆς ψυχῆς, ἀλλὰ καὶ ὅσον πρὸς τοῦτο, ὅπερ ἐστὶν κοινὸν πρὸς πάσας τὰς ἀρχάς· καὶ φησίν, ὅσον πρὸς τοῦτο τὸ κοινόν, ὅτι οἱ ἀρχαῖοι φιλόσοφοι οὐδὲν ἐπραγματεύσαντο περὶ τῆς εἰδικῆς αἰτίας, ἀλλὰ μόνον περὶ τῆς ὑλικῆς, καὶ ἐν ἐκείνοις οἵτινες μᾶλλον ἔδοξαν πλησιάζειν τῇ εἰδικῇ αἰτίᾳ, γεγόνασιν ὁ Δημόκριτος καὶ Ἐμπεδοκλῆς, ὅστις Ἐμπεδοκλῆς ἔθετο πάντα συνεστάναι ἐκ τῶν ἓξ ἀρχῶν, ὧν τὰ μὲν τέσσαρα ὑλικὰ ἐτίθετο, δηλονότι τὰ τέσσαρα στοιχεῖα, τὰ δὲ δύο πῇ μὲν εἰδικά, πῇ δὲ ὑλικά, δηλονότι φιλίαν καὶ νεῖκος· καὶ ἔλεγον ταύτας τὰς ὑλικὰς ἀρχὰς ἔχειν ἀναλογίαν τινὰ πρὸς ἀλλήλας ἀναφυομένην ἐξ αὐτῶν, ὥστε συνιέναι ἀλλήλοις καὶ συμφωνεῖν ἐν ἑνί τινί, διότι χωρὶς τούτου οὐκ ἂν ἠδύναντο εἶναι ἅμα· καὶ ταύτην ἔλεγον εἶδος τῶν πραγμάτων καὶ ἁρμονίαν τινὰ εἶναι· ὅθεν, ὥσπερ περὶ τῶν ἄλλων, οὕτω καὶ περὶ ψυχῆς ἔλεγον, ὅτι ἦν ἁρμονία τις.

Καὶ γὰρ τὴν ἁρμονίαν. Ἐνταῦθα τίθησι τὴν αἰτίαν τῆς εἰρημένης δόξης λέγων ὅτι ἡ ἁρμονία ἐστὶ συμπλοκὴ ἢ ἀναλογία ἢ κρᾶσις τῶν ἐναντίων ἐν τοῖς συνθέτοις καὶ μικτοῖς· καὶ αὕτη ἡ ἀναλογία ἡ ἐν τούτοις τοῖς ἐναντίοις λέγεται ἁρμονία καὶ εἶδος ἐκείνου τοῦ συνθέτου. Ὅθεν, ἐπεὶ ἡ ψυχὴ ἔστιν εἶδος τί, ἔλεγον αὐτὴν εἶναι ἁρμονίαν. Λέγεται δ' αὕτη ἡ δόξα εἶναι τινὸς Δεινάρχου καὶ Σιμίου καὶ Ἐμπεδοκλέους.

Καίτοιγε ἡ μὲν ἁρμονία λόγος τίς. Θεὶς τὴν δόξαν καὶ τὸν τῆς δόξης λόγον, ἐνταῦθα διαλέγεται κατ' αὐτῆς, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, διαλέγεται γενικῶς κατὰ τῆς δόξης τῶν εἰρημένων φιλοσόφων· δεύτερον, εἰδικῶς πρὸς τὴν θέσιν τοῦ Ἐμπεδοκλέους ἐν τῷ· Ἀπαιτήσειε δ' ἄν τις. Πρὸς δὲ τὴν θέσιν ἀντιτίθησι τέσσαρσι λόγοις, ὧν ὁ μὲν πρῶτος ἐνταῦθα, ὁ δὲ δεύτερος ἐν τῷ· Ἔτι δὲ τὸ κινεῖν· ὁ τρίτος ἐν τῷ· Ἁρμόζει δὲ μᾶλλον, καὶ ὁ τέταρτος ἐν τῷ· Ἔτι δὲ λέγομεν.

Ὁ δὲ πρῶτος τοιοῦτος ἐστίν· φανερὸν ὅτι ἡ ἁρμονία κυρίως λεγομένη ἐστὶ συμφωνία ἐν φθόγγοις. Ἀλλ' οὗτοι μὲν μετέλαβον τοῦτο τὸ ὄνομα πρὸς πᾶσαν ὀφειλομένην ἀναλογίαν ὁμοίως, ἔν τε τοῖς πράγμασι τοῖς συνθέτοις ἐκ διαφόρων μέρων καὶ ἐν τοῖς μικτοῖς ἐκ τῶν ἐναντίων. Κατὰ τοῦτο τοίνυν ἡ ἁρμονία δύο δύναται λέγειν· ἢ τὴν σύνθεσιν καὶ τὴν μίξιν, ἢ τὴν ἀναλογίαν αὐτῆς τῆς θέσεως ἢ μίξεως. Ἀλλὰ φανερόν, ὅτι οὐδέτερον τούτων ἐστὶν ἡ ψυχή. Ἡ ψυχὴ ἄρα οὐκ ἔστιν ἁρμονία. Ὅτι δὲ ἡ ψυχὴ οὐκ ἔστι σύνθεσις ἢ ἀναλογία συνθέσεως, φανερόν· οὗτοι γὰρ

---

2 τοίνυν om B 32 τοῦτο τὸ ὄνομα: τοὔνομα B



Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λαμβάνουσι τὴν ψυχὴν ὡς οὐσίαν τινά· ἀλλ' ἐκεῖνα τὰ δύο εἰσὶ συμβεβηκότα· οὐκ ἄρα εἰσὶ τὸ αὐτό.

Ἔτι δὲ τὸ κινεῖν. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον τοιοῦτον ὄντα· φανερὸν ὅτι πάντες οἱ φιλόσοφοι τιθέασι τὴν ψυχὴν κινεῖν· ἀλλ' ἡ ἁρμονία οὐ κινεῖ, μᾶλλον δὲ καταλείπεται ἐκ τοῦ κινοῦντος καὶ ἀκολουθεῖ, ὥσπερ ἐκ τῆς κινήσεως τῶν χορδῶν τῆς κατὰ μουσικὴν καταλείπεται ἁρμονία τις ἐν τοῖς φθόγγοις, καὶ ἐκ τῆς προσαγωγῆς ἀλλήλοις καὶ συγκράσεως τῶν μερῶν ἐκ τοῦ συντιθέντος καταλείπεται ἀναλογία τις ἐν τῷ συνθέτῳ· οὐκοῦν εἰ ἡ ψυχὴ ἐστὶν ἁρμονία καὶ αὕτη καταλείπεται ἐκ τῆς ἁρμογῆς, δεήσει τιθέναι ἄλλην ψυχὴν τὴν ἁρμόζουσαν.

Ἁρμόζει δὲ μᾶλλον. Ἐνταῦθα τίθησι τὸν τρίτον λόγον, ὄντα τοιοῦτον· ὁ Φιλόσοφος λέγει ἐν τῷ τετάρτῳ τῶν φυσικῶν, ὅτι ὁ ἀποδιδοὺς τὸν ὁρισμὸν καὶ τὴν φύσιν τοῦ πράγματος, ἱκανῶς ἀποδίδωσιν, ἂν ἀποδιδῷ ἁρμόζοντα τοῦτον ταῖς ἐνεργείαις καὶ τοῖς πάθεσιν ἐκείνου τοῦ πράγματος· τότε γὰρ ὁρίζεται τὸ πρᾶγμα ἄριστα τί ἐστιν, ὅταν μὴ μόνον γινώσκωμεν τὴν οὐσίαν καὶ τὴν φύσιν αὐτοῦ τοῦ πράγματος, ἀλλ' ἔτι καὶ τὰ πάθη καὶ τὰ συμβεβηκότα αὐτοῦ. Εἰ τοίνυν ἡ ψυχὴ ἐστὶν ἁρμονία τις, δεῖ διὰ τῆς γνώσεως τῆς ἁρμονίας ἀφικνεῖσθαι ἡμᾶς εἰς τὴν γνῶσιν τῶν ἐνεργειῶν καὶ τῶν συμβεβηκότων τῇ ψυχῇ· ἀλλὰ τοῦτό ἐστι λίαν δυσχερές, οἷον ἂν βουλώμεθα τὰς ἐνεργείας τῆς ψυχῆς εἰς τὴν ἁρμονίαν ἀναφέρειν· τίνος γὰρ ἁρμονίας ἔσται τὸ αἰσθάνεσθαι, ἢ φιλεῖν,
f. 282v ἢ μισεῖν καὶ νοεῖν; | Ἀλλὰ διὰ τῆς γνώσεως τῆς ἁρμονίας μᾶλλον ἁρμόζει κατιέναι εἰς τὴν γνῶσιν τῶν συμβεβηκότων τοῦ σώματος, ὡς ἄρα ἂν ἐθέλωμεν γινώσκειν τὴν ὑγείαν, ἐροῦμεν ὅτι ἐστὶ συμπλοκὴ ἐξισωθεῖσα καὶ σύμμετρος χυμῶν καὶ ποιοτήτων ἐν σώματι· οὕτω καὶ περὶ τῶν ἄλλων σωματικῶν ἀρετῶν. Καὶ οὕτως ἡ ἁρμονία μᾶλλον ἐστὶν ἀποδοτέα τῷ σώματι ἢ τῇ ψυχῇ.

Ἔτι δὲ εἰ λέγομεν. Ἐνταῦθα τίθησι τὸν τέταρτον λόγον, ὄντα τοιοῦτον· ἡ ἁρμονία εὑρίσκεται ποτὲ ἐν τοῖς συνθέτοις καὶ τοῖς ἔχουσι θέσιν καὶ κίνησιν. Ὅταν γὰρ ταῦτα ὁμοῦ ἀλλήλοις τεθῶσιν οὕτω τε καὶ ταχθῶσιν ὥστε μηδὲν συγγενὲς παραδέχεσθαι, τουτέστι μηδεμίαν ἔλλειψιν εἶναι ἐκεῖ τοῦ αὐτοῦ γένους, τότε ἐκεῖνα τὰ γένη λέγονται καλῶς ἡρμοσμένα, καὶ ἡ σύνθεσις αὐτῶν λέγεται ἁρμονία, ὡς ξύλα καὶ λίθοι καὶ τὰ ἄλλα φυσικὰ σώματα. Οὕτω καὶ αἱ χορδαί, ὅταν ἅμα καλῶς ταχθῶσιν ὥστε ἐξ αὐτῶν τὴν τῶν φθόγγων ἀναφύεσθαι συμφωνίαν, λέγονται καλῶς ἡρμοσμέναι, καὶ ἡ τοιαύτη συμφωνία λέγεται ἁρμονία, καὶ τούτῳ τῷ τρόπῳ κυρίως λέγεται ἡ ἁρμονία. Ποτὲ δὲ εὑρίσκεται ἐν τοῖς σώμασι τοῖς μικτοῖς ἐκ τῶν ἐναντίων. Ὅταν γὰρ ἐναντία τινὰ συμπεπλεγμένα

---

28 *λέγομεν*: *διαιροῦμεν* B

Ε.Υ.Δ της ΚτΠ ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

καὶ συγκεκραμένα ᾖ ἔν τινι οὕτως ὥστε μηδεμίαν διαμάχην ἢ ὑπερβολὴν τινὸς ἐναντίου εἶναι ἐκεῖ, οἷον τοῦ θερμοῦ, ἢ τοῦ ψυχροῦ, ἢ τοῦ ὑγροῦ, ἢ τοῦ ξηροῦ, καὶ ἐκεῖνα τότε λέγονται καλῶς ἡρμόσθαι, καὶ ὁ λόγος αὐτῶν, τουτέστιν ἡ ἀναλογία, λέγεται ἁρμονία. Εἰ τοίνυν ἡ ψυχὴ ἐστὶν ἁρμονία, κατά τινα τῶν τρόπων τούτων ῥηθήσεται· ἀλλὰ φανερὸν ἐστίν, ὅτι κατ' οὐδέτερον τῶν τρόπων τούτων εὔλογον ἐστὶ τὴν ψυχὴν λέγειν ἁρμονίαν· κακῶς ἄρα λέγουσι τὴν ψυχὴν ἁρμονίαν εἶναι. Καὶ ὅτι κατ' οὐδέτερον τῶν τρόπων ἐκείνων ἡ ψυχὴ λέγεται ἁρμονία, δῆλον ἐντεῦθεν· οὐ γὰρ δυνατὸν λέγεσθαι τὴν ψυχὴν ἁρμονίαν, καθὸ εὑρίσκεται ἐν πράγμασι συνθέτοις καὶ ἔχουσι θέσιν· ἡ γὰρ τάξις τῶν συνθέτων μερῶν ἐν τῷ σώματι λίαν ἐστὶ φανερά· ῥᾴδιον γάρ ἐστιν εἰδέναι τὴν τάξιν τῶν ὀστῶν πρὸς τὰ ὀστᾶ, καὶ τῶν νεύρων πρὸς τὰ νεῦρα, καὶ τοῦ βραχίονος πρὸς τὴν χεῖρα, καὶ τῆς σαρκὸς πρὸς τὰ ὀστᾶ· ἀλλ' ὁ λόγος τῆς τάξεως τῶν μερῶν τῆς ψυχῆς ἐστὶν ἡμῖν ἀφανής· οὐ γὰρ διὰ τούτου δυνάμεθα γινώσκειν τὴν τάξιν τὴν μεταξὺ τοῦ νοῦ καὶ τῆς αἰσθήσεως καὶ τῆς ὀρέξεως καὶ τῶν τοιούτων. Οὐδὲ δυνατὸν ἔτι λέγεσθαι ἁρμονίαν τὴν ψυχὴν κατὰ τὴν ἀναλογίαν τῶν σωμάτων τῶν συγκεκραμένων ἐκ τῶν ἐναντίων, καὶ τοῦτο διὰ λόγους δύο, ὧν ὁ πρῶτος ἐστίν, ὅτι διάφορος ἀναλογία εὑρίσκεται ἐν τοῖς διαφόροις μέρεσι τοῦ σώματος· ἡ γὰρ σύγκρασις τῶν στοιχείων οὐκ ἔχει τὸν αὐτὸν λόγον, τουτέστιν ἀναλογίαν, καθ' ἣν ἐστι σὰρξ καὶ καθ' ἣν ὀστοῦν· ἐν τοῖς διαφόροις ἄρα μέρεσιν ἔσονται διάφοροι ψυχαί. Ἄλλος δὲ λόγος ἐστίν, ὅτι πάντα τὰ σώματα εἰσὶ συγκεκραμένα ἐκ τῶν ἐναντίων στοιχείων. Εἰ τοίνυν ἡ ἀναλογία τῆς κράσεως ἐν ἑκάστῳ σώματι ἐστὶν ἁρμονία, καὶ ἡ ἁρμονία ἐστὶ ψυχή, ἐν ἑκάστῳ ἄρα σώματι ἔστι ψυχή, ὅπερ ἐστὶν ἄτοπον. Καὶ οὕτω φαίνεται, ὅτι ἀτόπως φασὶ τὴν ψυχὴν εἶναι ἁρμονίαν.

Ἀπαιτήσειε δ' ἄν τις. Ἐνταῦθα διαλέγεται κατὰ τοῦ Ἐμπεδοκλέους, καὶ τίθησι κατ' αὐτοῦ τρεῖς λόγους, ὧν ὁ πρῶτος τοιοῦτός ἐστιν· αὐτοὶ τιθέασι πᾶν σῶμα συνεστάναι κατά τινα λόγον, εἴτουν ἀναλογίαν, ἣν λέγουσιν ἁρμονίαν, καὶ ταύτην φασὶ ψυχήν. Ζητῶ τοίνυν πότερον ἡ ψυχὴ αὐτός ἐστιν ὁ λόγος, τουτέστιν ἡ ἀναλογία τῆς κράσεως, ἢ ἄλλο τι παρὰ τὴν ἀναλογίαν; Ἂν εἴπῃς, ὅτι αὐτή ἐστιν ἡ ἀναλογία, τότε, ἐπεὶ ἐν ἑνὶ σώματι εἰσὶ διάφοροι ἀναλογίαι κατὰ διάφορα μέρη, ἀκολουθοῦσι δύο τὰ ἄτοπα, δηλονότι τὸ πολλὰς εἶναι ψυχὰς ἐν τῷ αὐτῷ σώματι κατὰ διάφορα μέρη, καὶ τὸ ἐν παντὶ μικτῷ εἶναι ψυχήν. Ἂν εἴπῃς, ὅτι ἔστιν ἄλλο παρὰ τὴν ἀναλογίαν, τότε, ἐπεὶ ἡ ἀναλογία ἐστὶν ἁρμονία, ἡ ψυχὴ οὐκ ἔσται ἁρμονία.

Ἔτι πότερον. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον, τοιοῦτον·

---

21 *ἐστὶν* avant *ὀστοῦν* add B 33 *ἑνί*: *ἑκάστῳ* B 34 *τὰ* om B

Ε.Υ.Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὄντα· ὁ Ἐμπεδοκλῆς ἐτίθει τὴν φιλίαν εἶναι αἰτίαν τῆς συγκρίσεως ἐν τοῖς πράγμασι, καὶ τὸ νεῖκος αἰτίαν τῆς διακρίσεως. Ἀλλ' ἐπεὶ ἐν τῇ ἑνώσει ἐστὶν ἀναλογία τις, ζητῶ πότερον ἡ φιλία ἐστὶν αἰτία πάσης ἑνώσεως, ἢ μόνον τῆς ἁρμονικῆς. Ἂν εἴπῃς, ὅτι ἡ φιλία ἐστὶν αἰτία
f. 283 πάσης ἑνώσεως, | τότε δεήσει τιθέναι ἄλλο τι παρὰ τὴν φιλίαν, αἴτιον ταύτης τῆς ἀναλογίας καὶ ἁρμονίας ἐν ταῖς ἑνώσεσι ταῖς ἁρμονικαῖς, ἢ ἔσται λέγειν, ὅτι ἡ τοιαύτη ἁρμογή ἐστιν ἀπὸ ταὐτομάτου. Ἐὰν εἴπῃς, ὅτι ἔστιν αἰτία μόνον τῆς ἑνώσεως τῆς ἁρμονικῆς, τότε ἡ φιλία οὐκ ἔστιν αἰτία πάσης ἑνώσεως· ὅπερ ἐστὶ κατ' αὐτοῦ.

Καὶ αὕτη πότερον. Ἐνταῦθα τίθησι τὸν τρίτον λόγον, τοιοῦτον ὄντα· ὁ Ἐμπεδοκλῆς φησιν, ὅτι ἡ φιλία ἐστὶν ἡ ποιοῦσα τὴν ἕνωσιν ἐν τοῖς πράγμασιν. Ζητῶ τοίνυν πότερον ἡ φιλία ἐστὶ τὸ αὐτὸ αὐτῇ τῇ ἑνώσει τῇ ἁρμονικῇ, ἢ οὔ. Ἂν ῥηθῇ, ὅτι τὸ αὐτό, τότε, ἐπεὶ οὐδέν ἐστιν αἴτιον ἑαυτοῦ, ἡ φιλία οὐκ ἔσται αἰτία τῆς ἑνώσεως ἐκείνης, ὡς Ἐμπεδοκλῆς ἔλεγεν. Ἂν δὲ ῥηθῇ, ὅτι οὐκ ἔστι τὸ αὐτό, πάλιν ἔστιν εἰπεῖν, ὅτι ἡ ἕνωσις ἡ ἁρμονικὴ οὐδὲν ἄλλο ἐστὶν ἢ συμφωνία τις καὶ ἀκολουθία· ἡ δὲ φιλία δοκεῖ εἶναι συμφωνία τις· ταὐτὸν ἄρα ἐστί· καὶ οὕτως ἀκολουθεῖ τὸ αὐτό, ὅπερ καὶ πρότερον.

Εἰ δ' ἔστιν ἕτερον ἡ ψυχὴ τῆς μίξεως. Ἐνταῦθα δείκνυσι πῶς αὕτη ἡ δόξα ἐστὶ λίαν πιθανή, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον μὲν γὰρ δείκνυσι τὴν δόξαν ταύτην λίαν εἶναι πιθανήν· δεύτερον, συμπεραίνει καὶ ἐπιλέγει, ὅτι ἡ ψυχὴ οὐ κινεῖται κυκλικῶς ἐν τῷ· Ὅτι μὲν οὖν. Περὶ δὲ τὸ πρῶτον φησίν, ὅτι διὰ τοῦτο δοκεῖ αὕτη εἶναι πιθανή, διότι τεθέντος τοῦ ἑνὸς τίθεται τὸ λοιπόν, καὶ ἀφαιρουμένου τοῦ ἑνὸς ἀφαιρεῖται καὶ τὸ λοιπόν· ἀφισταμένης γὰρ ἀπό τινος σώματος τῆς ἁρμονίας, ἀποχωρεῖ ἡ ψυχή, καὶ μενούσης τῆς ἁρμονίας, διαμένει καὶ ἡ ψυχή. Ἀλλὰ τοῦτο οὐχ ἕπεται, διότι ἡ τοιαύτη ἀναλογία οὐκ ἔστιν εἶδος, ὡς αὐτοὶ ἔλεγον, ἀλλ' ἔστι διάθεσις τῆς ὕλης πρὸς τὸ εἶδος, καὶ ἂν λαμβάνηται ἡ ἀναλογία τῆς ἡρμοσμένης συνθέσεως ἀντὶ τῆς διαθέσεως, καλῶς ἕπεται ὅτι, μενούσης τῆς διαθέσεως τῆς ὕλης πρὸς τὸ εἶδος, διαμένει τὸ εἶδος, καὶ ἀναιρεθείσης τῆς διαθέσεως, ἐξίσταται καὶ τὸ εἶδος, οὐ μέντοι, ὅτι ἡ ἁρμονία ἐστὶ τὸ εἶδος, ἀλλὰ διάθεσις τῆς ὕλης πρὸς τὸ εἶδος.

Ὅτι μὲν οὖν. Ἐνταῦθα συμπεραίνει καὶ ἐπιλέγει, ὅτι ἡ ψυχὴ οὐ κινεῖται κυκλικῶς, ὥσπερ ὁ Πλάτων εἶπεν· οὐδὲ ἁρμονία [ἐστίν], ὡς Ἐμπεδοκλῆς διεβεβαιοῦτο· κινεῖται δὲ κατὰ συμβεβηκός, ὡς εἴπομεν ἀνωτέρω, καὶ κινεῖ ἑαυτήν. Καὶ ὅτι κινεῖται κατὰ συμβεβηκός, δῆλον ἐκ τοῦ κινεῖσθαι αὐτήν, ἐφόσον κινεῖται τὸ σῶμα ἐν ᾧ ἐστιν· τὸ δὲ σῶμα

---

16 *ἀλλ'* avant *ἢ συμφωνία* add B   18 *τὸ αὐτὸ* om B   21 *εἶναι* om B

ΙΩΑΝΝΙΝΑ 2006

κινεῖται ὑπὸ τῆς ψυχῆς. Ἄλλον δὲ τρόπον οὐκ ἔστι κινεῖσθαι αὐτὴν κατὰ τόπον εἰ μὴ κατὰ συμβεβηκός.

## Leçon X.

Εὐλογώτερον. Θεὶς ὁ Φιλόσοφος τοὺς λόγους τῶν εἰπόντων τὴν ψυχὴν κινεῖσθαι ἐκ τοῦ κινεῖν τὸ σῶμα καὶ διαλεχθεὶς κατ' αὐτῶν, ἐνταῦθα ἑπομένως βούλεται δεῖξαι, ὅτι ὁ ἐναργέστερος λόγος τοῦ τὴν ψυχὴν κινεῖσθαι δύναται λαμβάνεσθαι ἐξ αὐτῶν τῶν ἐνεργειῶν τῆς ψυχῆς, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον γὰρ κινεῖ ἀπορίαν τῶν εἰπόντων τὴν ψυχὴν κινεῖσθαι ἐκ τῶν ἐνεργειῶν τῆς ψυχῆς· δεύτερον, λύει τὴν τοιαύτην ἀπορίαν, ὅσον ἀνήκει πρὸς τὸ προκείμενον, ἐν τῷ· Τοῦτο δὲ οὐκ ἔστιν ἀναγκαῖον. Λέγει τοίνυν πρῶτον, ὅτι εἰ καὶ οἱ προειρημένοι φιλόσοφοι ἠπόρησαν πότερον ἡ ψυχὴ κινεῖται ἐκ τοῦ κινεῖν τὸ σῶμα, εὐλογώτερον μέντοι, τουτέστι πιθανώτερον, ἀπορήσειεν ἄν τις περὶ τῆς ψυχῆς, ὅτι κινεῖται εἰς τὰ τοιαῦτα τὰ ῥηθησόμενα, δηλονότι ἀποβλέψας, τουτέστιν εἰς τὰς ἐνεργείας τῆς ψυχῆς· ἐκ τούτων γὰρ πιθανῶς δυνατὸν δείκνυσθαι, ὅτι ἡ ψυχὴ κινεῖται. Ἡμεῖς δὲ λέγομεν τὴν ψυχὴν λυπεῖσθαι, χαίρειν, θαρρεῖν καὶ φοβεῖσθαι. Ἔτι δὲ λέγομεν αὐτὴν ὀργίζεσθαι, αἰσθάνεσθαι καὶ διανοεῖσθαι. Ἐπειδὴ τοίνυν ταῦτα πάντα εἰσὶν ἐνέργειαι τῆς ψυχῆς καὶ εἰσὶ κινήσεις τινές, δοκεῖ τὴν ψυχὴν κινεῖσθαι. Αὕτη δὲ ἡ ἀπορία δοκεῖ μᾶλλον πιθανὴ ἢ ἡ ἀνωτέρα· ἐκείνη γὰρ θεωρεῖ τὴν κίνησιν τῆς ψυχῆς ἐκ τῆς κινήσεως τοῦ σώματος· ἔλεγε γὰρ ὅτι οὐδὲν κινεῖ μὴ κινούμενον· ὅθεν, ἐπεὶ ἡ ψυχὴ κινεῖ τὸ σῶμα, φανερόν ἐστιν, ὅτι αὐτὴ κινεῖται· αὕτη δὲ ἡ δόξα θεωρεῖ τὴν κίνησιν τῆς ψυχῆς ἐκ τῶν ἐνεργειῶν αὐτῆς τῆς ψυχῆς.

Τὸ δὲ οὐκ ἔστιν ἀναγκαῖον. Ἐνταῦθα ἑπομένως λύει τὴν ἀπορίαν. Περὶ ὃ ἰστέον ἐστίν, ὅτι ὅταν ὁ Ἀριστοτέλης ἀνιχνεύῃ ἀλήθειάν τινα λύων καὶ ἐνιστάμενος, ποτὲ μὲν ἀντιτίθησι καὶ λύει διορισάμενος πρότερον τὴν ἀλήθειαν, καὶ τότε ἀντιτίθησι καὶ λύει κατὰ τὴν ἑαυτοῦ δόξαν· ποτὲ δὲ πρὸ τοῦ διορίσασθαι τὴν ἀλήθειαν, καὶ τότε ἀντιτίθησι καὶ λύει ὑποτιθέμενος τὰς δόξας τῶν ἄλλων καὶ οὐ κατὰ τὴν | ἰδίαν f. 283v
δόξαν καὶ ἀλήθειαν, ἣν δοξάζει. Καὶ τούτου παράδειγμα ἔχομεν ἐν τῷ τρίτῳ τῆς φυσικῆς, ὅπου ὁ Φιλόσοφος διαλέγεται κατὰ τῶν τιθέντων τὸ ἄπειρον, καὶ χρῆται κατ' αὐτῶν πολλοῖς λόγοις, οἳ καθ' αὐτοὺς εἰσὶ ψευδεῖς, εἰ καὶ κατ' ἐκείνους λογίζονται ἀληθεῖς, οἷον ὅτι πᾶν σῶμα ἔχει βαρύτητα καὶ κουφότητα· οὗ δὴ λόγος ἐστίν, ὅτι τοῦτο τό, πότερον δηλονότι πᾶν σῶμα ἔχει βαρύτητα καὶ κουφότητα, οὔπω διωρίσατο, ὅπερ ὕστερον διωρίσατο ἐν τῷ περὶ οὐρανοῦ· καὶ διὰ τοῦτο ἐπανέλαβεν ἐκεῖ τὸ ζήτημα

---

21 *ἀνωτέρα*: *πρώτη* B 29 *πρῶτον* B 31 *καὶ οὐ* om B *ἰδίαν*: *ἑαυτοῦ* B

Ε. Γκάτης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸ περὶ τοῦ ἀπείρου. Τοῦτον δὲ τὸν τρόπον τῆς ἀντιθέσεως καὶ λύσεως φυλάττει κἀνταῦθα Ἀριστοτέλης· ὅθεν καὶ προχωρεῖ κατ' ἐκείνων ὑποθέμενος τὰς ἐκείνων δόξας. Ἐκεῖνοι γάρ, καὶ μάλιστα οἱ Πλατωνικοί, ἐδόξασαν ὅτι τὸ λυπεῖσθαι καὶ χαίρειν καὶ ὀργίζεσθαι καὶ αἰσθάνεσθαι καὶ νοεῖν καὶ τὰ τοιαῦτα εἰσὶ κινήσεις τῆς ψυχῆς, καὶ ὅτι ἕκαστον αὐτῶν, καὶ αὐτὸ τὸ νοεῖν, δι' ὀργάνου γίνεται ὡρισμένου, καὶ ὅσον πρὸς τοῦτο οὐκ ἔστι διαφορὰ μεταξὺ τῆς αἰσθητικῆς καὶ νοερᾶς· καὶ ὅτι πᾶσα ψυχή, οὐ μόνον ἡ νοερά, ἐστὶν ἄφθαρτος. Ἀριστοτέλης δὲ πάντα ταῦτα συγχωρεῖ· αὐτὸς γὰρ ὑποτίθησιν, ὅτι αἱ τοιαῦται ἐνέργειαι γίνονται δι' ὡρισμένων ὀργάνων, καὶ αὐτὸ ἔτι τὸ νοεῖν, καὶ ὅτι πᾶσα ψυχὴ ἐστὶν ἄφθαρτος. Τοῦτο μέντοι ἀρνεῖται, τὸ τὰς τοιαύτας ἐνεργείας, δηλονότι τὸ αἰσθάνεσθαι καὶ χαίρειν καὶ τὰ τοιαῦτα, εἶναι τῆς ψυχῆς κινήσεις· οὐ γὰρ λέγει ταύτας εἶναι τῆς ψυχῆς, ἀλλὰ τοῦ συνημμένου. Πρὸς τοῦτο τοίνυν διαλέγεται κατ' αὐτῶν. Καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον γὰρ δείκνυσιν, ὅτι αἱ τοιαῦται ἐνέργειαι οὐκ εἰσὶν κινήσεις τῆς ψυχῆς· δεύτερον δὲ δεικνύει τοῦτο τρόπῳ τινὶ ἐν τῷ .... Φησὶ τοίνυν, ὅτι οὗτοι λέγουσι δύο· καὶ πρῶτον, ὅτι τὸ χαίρειν, τὸ λυπεῖσθαι καὶ τὰ τοιαῦτα εἰσὶ κινήσεις· δεύτερον δὲ ταῦτα ἀποδιδόασι τῇ ψυχῇ λέγοντες αὐτὴν χαίρειν καὶ αἰσθάνεσθαι καὶ ὀργίζεσθαι καὶ τὰ τοιαῦτα· καὶ οὕτω δοκεῖ τὴν ψυχὴν κινεῖσθαι. Ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀναγκαῖον, μᾶλλον δὲ ἑκάτερον αὐτῶν ἐστιν ἀδύνατον, δηλονότι οὔτε αἱ τοιαῦται ἐνέργειαι εἰσὶ κινήσεις, οὔτε ἀποδίδονται τῇ ψυχῇ, ἀλλὰ δοθέντος ὅτι εἰσὶ κινήσεις, καὶ διαλεγόμεθα περὶ αὐτῶν καθὸ κινήσεις εἰσίν, οὐδὲν ἧττον μέντοι ψεῦδος ἐστὶ τὸ ἀποδίδοσθαι ταῦτα τῇ ψυχῇ, καὶ ἀκολούθως τὸ τὴν ψυχὴν κατὰ τὰς αὐτῶν δόξας κινεῖσθαι· ὅπερ δῆλον ἐντεῦθεν. Φανερὸν γὰρ ὅτι, ἂν αἱ τοιαῦται ἐνέργειαι ὦσι κινήσεις καὶ ἀποδιδῶνται τῇ ψυχῇ, οὐκ ἀποδίδονται αὐτῇ εἰ μὴ κατὰ διωρισμένα μέρη τοῦ σώματος, ὥσπερ τὸ αἰσθάνεσθαι οὐκ ἀποδίδοται τῇ ψυχῇ εἰ μὴ ἔν τινι μέρει τοῦ σώματος, οἷον ἐν τῷ ὀφθαλμῷ ἡ ὄψις, ἥτις ἐστὶ δι' ὁράσεως, καὶ τὸ ὀργίζεσθαι ἐν τῇ καρδίᾳ, καὶ περὶ τῶν ἄλλων ὁμοίως. Φαίνεται τοίνυν, ὅτι οὐκ εἰσὶ τῆς ψυχῆς κινήσεις, ἀλλὰ τοῦ συναμφοτέρου. Εἰσὶ μέντοι γε παρὰ τῆς ψυχῆς, ὡς φέρε εἰπεῖν ἐν τῷ ὀργίζεσθαι· ἡ γὰρ ψυχὴ κρίνει εἶναί τι ὀργῆς ἄξιον, ἡ δὲ καρδία τοῦ ζῴου ἐντεῦθεν κινεῖται καὶ ζέει τὸ περὶ ταύτην αἷμα. Ὁμοίως δὲ ἔχει καὶ πρὸς τοὺς φόβους· μόριον γάρ τι συνέλκεται ὑπὸ τοῦ φοβεροῦ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καὶ οὕτως ἡ ψυχὴ οὐ κινεῖται, ἀλλ' ἔστι τὸ κινεῖσθαι παρ' αὐτῆς ἐν τῷ ὁπωσποτε κινουμένῳ, ὥσπερ τῇ καρδίᾳ. Καὶ διότι προϊὼν διοριεῖται, ὅτι τὸ νοεῖν ἐστὶν ἐνέργειά τις τῆς ψυχῆς, ἐν ᾗ

---

15 *δὲ* om B  16 *ἐν τῷ* om B blanc après *ἐν τῷ* A, Scholarios a oublié de mettre la référence du texte d'Aristote *τοίνυν*: *γὰρ* B

Ε. Γ. ... Κ. ... ΙΩΑΝΝΙΝΑ 2006

οὐ κοινωνεῖ τὸ σῶμα, καὶ οὐκ ἔστι τοῦ συνημμένου, διὰ τοῦτο φησὶν ὅτι τὸ διανοεῖσθαι ἴσως ἐστὶν ἕτερόν τι παρὰ τὰς ἐνεργείας τοῦ συναμφοτέρου. Καί φησιν· Ἴσως, διότι διαλέγεται ἐνταῦθα οὐχ ὁριζόμενος ἀλλ' ὑποτιθέμενος. Διότι δὲ εἶπεν, ὅτι αἱ τοιαῦται κινήσεις οὐκ εἰσὶ τῆς ψυχῆς ἀλλὰ τοῦ συνημμένου, εἰσὶ μέντοι παρὰ τῆς ψυχῆς. Διὰ τοῦτο φησί· Τούτων δὲ συμβαίνει. καὶ τὰ ἑξῆς.

Τούτων δὲ συμβαίνει. Ἐν ᾧ βούλεται δεῖξαι, ὅτι αἱ τοιαῦται κινήσεις τοῦ σώματος παρὰ τῆς ψυχῆς εἰσὶ κατὰ δύο εἴδη κινήσεως. Τὸ ἕν ἐστι κατὰ τὴν τοῦ τόπου μεταβολήν, ὡς φαίνεται ἐπὶ τῆς ὀργῆς· κινηθέντων γάρ τινων μορίων τοῦ σώματος, δηλονότι τῆς καρδίας, ἐξέρχεται τὸ αἷμα πρὸς τὰ ἐξώτερα μόρια, κινηθὲν ἐκ τῆς ζέσεως τῆς καρδίας· τὸ δὲ ἄλλο ἐστὶ κατὰ ἀλλοίωσιν, ὡς φαίνεται ἐπὶ τοῦ φόβου· ἡ γὰρ καρδία συνέλκεται πρὸς τὸ φοβερὸν καὶ ἐμψυχραίνεται, καὶ ἀλλοιοῦται ὁ ἄνθρωπος καὶ ὠχριᾷ. Ὁποῖα δὲ τὰ πάθη εἰσὶ καὶ πῶς κινοῦνται, ἑτέρου λόγου λέγειν ἐστίν. | Οὕτω τοίνυν φαίνεται, ὅτι αἱ κινήσεις αὗται οὐκ εἰσὶ τῆς f. 284 ψυχῆς ἀλλὰ τοῦ σώματος παρὰ τῆς ψυχῆς, ὡς εἴρηται. Ὥσπερ τοίνυν τὸ ζῷον ἔχει τὰς σωματικὰς ἐνεργείας καὶ αἱ τοιαῦται οὐκ εἰσὶ τῆς ψυχῆς ἀλλὰ τοῦ σώματος τοῦ συνημμένου, οὕτω καὶ αἱ τοιαῦται ἐνέργειαι, δηλονότι τὸ αἰσθάνεσθαι, τὸ χαίρειν καὶ τὰ τοιαῦτα οὐκ ὀφείλουσιν ἀναφέρεσθαι πρὸς τὴν ψυχὴν ἀλλὰ πρὸς τὸ συνημμένον. Ἂν γάρ τις εἴπῃ τὴν ψυχὴν ὀργίζεσθαι καὶ κατὰ τὰς τοιαύτας ἐνεργείας κινεῖσθαι, ὅμοιόν ἐστιν ὥσπερ ἂν λέγῃ τὴν ψυχὴν αὐτὴν ὑφαίνειν, ἢ οἰκοδομεῖν καὶ κιθαρίζειν. Καὶ ἡ ψυχὴ γάρ ἐστιν αἰτία τούτων τῶν κινήσεων· ἡ γὰρ οἰκοδομικὴ καὶ ὑφαντικὴ καὶ κιθαριστικὴ ἕξις ἐν αὐτῇ ἐστι τῇ ψυχῇ, καὶ διὰ τοῦτο αὗται παρὰ τῆς ψυχῆς εἰσίν. Ἀλλ' ὥσπερ βέλτιόν ἐστι λέγειν, ὅτι ὁ οἰκοδόμος οἰκοδομεῖ, οὐχ ἡ τέχνη, κἂν ὁ οἰκοδόμος τῇ οἰκοδομικῇ οἰκοδομῇ, οὕτως ἴσως βέλτιόν ἐστι λέγειν, ὅτι ἡ ψυχὴ οὐκ ἐλεεῖ, οὐδὲ μανθάνει, οὐδὲ διανοεῖται, ἀλλ' ὁ ἄνθρωπος διὰ τῆς ψυχῆς. Καί φησιν· Ἴσως καὶ τὸ διανοεῖσθαι, διότι διαλέγεται ὑποτιθέμενος, ὡς εἴρηται. Διότι δὲ λέγων μὴ κινεῖσθαι τὴν ψυχήν, ἀλλὰ τὸν ἄνθρωπον διὰ τῆς ψυχῆς, ἔδοξεν ἄν τινι λέγειν τὴν κίνησιν εἶναι ἐν τῇ ψυχῇ, διὰ τοῦτο ἀποκρούεται τοῦτο λέγων ὅτι, ὁπόταν λέγω τὸν ἄνθρωπον κινεῖσθαι τῇ ψυχῇ, οὐχ οὕτω τοῦτο φημὶ ὡς τῆς κινήσεως ἐν ἐκείνῃ, τῇ ψυχῇ δηλονότι, τυγχανούσης, ἀλλ' ὡς παρ' ἐκείνης. Ὅταν γὰρ λέγω, ὅτι τόδε κινεῖται διὰ τοῦδε, τοῦτο δύναται νοεῖσθαι διχῶς· ἢ διότι αὐτό ποτε τὸ πρᾶγμα, δι' οὗ τι κινεῖται, τὴν κίνησιν ὑπομένει, ὥσπερ ὅταν λέγω τὸν ἄνθρωπον κινεῖσθαι τοῖς ποσί, διότι αὐτοὶ οἱ πόδες κινοῦνται· ἢ διότι αὐτὸ τὸ πρᾶγμα ἐνίοτε οὐχ ὑφίσταται τὴν κίνησιν, ἀλλ' ὠθεῖ τι πρὸς τὴν κίνησιν· καὶ τοῦτον τὸν

---

2 *ἐστίν* om B  13 *ψυχραίνεται* B  14 *εἰσὶ* om B

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τρόπον λέγεται ὁ ἄνθρωπος κινεῖσθαι διὰ τῆς ψυχῆς. Κἀν τούτῳ πάλιν διπλῆ ἐστιν ἡ κίνησις, διότι ποτὲ μὲν ἡ ψυχὴ ἐστὶν ὡς ὅρος τις τῆς κινήσεως, ὅταν δηλονότι ἡ κίνησις ᾖ πρὸς αὐτήν, δηλονότι τὴν ψυχήν, ὥσπερ ἐν τῇ ἐνεργείᾳ τῶν αἰσθητῶν. Ὅταν γὰρ ἀντιλαμβάνηται τῶν ἔξωθεν αἰσθητῶν, τότε ἡ αἰσθητικὴ δύναμις ἡ ἐν τῷ ὀργάνῳ πρόεισι καὶ κινεῖται πρὸς τὸ ἀναστρέφειν καὶ ἀνάγειν τὰ εἴδη καὶ τὰς ἐπινοίας τῶν αἰσθητῶν ἄχρις αὐτῆς, δηλονότι τῆς ψυχῆς· ποτὲ δὲ ἡ ψυχὴ ἐστὶν ἀρχὴ τῆς κινήσεως, ὅταν δηλονότι ᾖ παρ' αὐτῆς ἡ κίνησις, ὡς ἔστιν ἐν τῇ ἀναμνήσει, παρ' ἧς αἱ ἐπίνοιαι καὶ αἱ φαντασίαι τῶν πραγμάτων, κρύφιαι οὖσαι καὶ ἀπόθετοι, προάγονται πρὸς τὸ νοῆσαι δυνηθῆναι τὰ αἰσθητὰ πράγματα. Εἴτε δὲ κινήσεις, εἴτε ἠρεμίας λέγοι τις τὰ τοιαῦτα τὰ ἔνδον ἀποκείμενα φαντάσματα, οὐ διαφέρει ὅσον πρὸς τὸν παρόντα λόγον. Φανερὸν τοίνυν, ὅτι αἱ τοιαῦται κινήσεις οὐκ ἀποδίδονται τῇ ψυχῇ, ἀλλὰ τοῦ συναμφοτέρου τυγχάνουσιν, παρ' αὐτῆς μέντοι γε τῆς ψυχῆς, καὶ ὅτι οὐ γίνονται, τῆς κινήσεως οὔσης ἐν τῇ ψυχῇ.

Ἰστέον μέντοι, ὅτι αὕτη ἡ λύσις τῆς προειρημένης ἀπορίας οὐκ ἔστι διακριτικὴ καὶ ὁριστικὴ τῆς ἀληθείας, ἀλλ' ἀντιθετική. Δεῖ γὰρ εἰδέναι, ὅτι αἱ κινήσεις ἀποδίδονται ταῖς διαφόροις τῆς ψυχῆς ἐνεργείαις διαφόρως. Τριπλῶς γὰρ ἡ κίνησις εὑρίσκεται ἐν ταῖς ἐνεργείαις τῆς ψυχῆς· ἔν τισι γὰρ εὑρίσκεται κυρίως, ἔν τισι δὲ ἧττον κυρίως, καὶ ἔν τισιν ἐλάχιστα κυρίως. Κυρίως γὰρ εὑρίσκεται ἡ κίνησις ἐν τῇ ἐνεργείᾳ τῆς θρεπτικῆς ψυχῆς καὶ ἐν τῇ αἰσθητικῇ ὀρέξει. Ἐν γὰρ τῇ ἐνεργείᾳ τῆς τοιαύτης ψυχῆς εὑρίσκεται κυρίως ἡ κίνησις, διότι κινεῖται ἐν τῷ εἶναι τῆς φύσεως διὰ τῆς θρέψεως· καὶ αὕτη ἐστὶν ἡ κίνησις τῆς αὐξήσεως, καὶ κατὰ ταύτην ἡ θρεπτικὴ ψυχὴ ἔχει ὡς ποιοῦν, τὸ δὲ σῶμα ὡς πάσχον. Ἐν δὲ τῇ αἰσθητικῇ ὀρέξει εὑρίσκεται ἔτι κυρίως ἡ κίνησις κατά τε ἀλλοίωσιν καὶ κατὰ κίνησιν τοπικήν· πρὸς γὰρ τὴν ὄρεξιν τινὸς πράγματος ὁ ἄνθρωπος ἐστίν, ὅτε κινεῖται καὶ ἀλλοιοῦται ἢ πρὸς ὀργήν, ὥσπερ ἐν τῇ ὀρέξει τῆς ἐκδικήσεως, ἢ πρὸς χαράν, ὡς ἐν τῇ ὀρέξει τοῦ ἡδέος. Καὶ ἐκ τούτου δὲ ἔτι κινεῖται τὸ περὶ τὴν καρδίαν αἷμα, καὶ ὁ ἄνθρωπος ἐκ τόπου εἰς τόπον πρὸς τὸ τυχεῖν οὗ ὀρέγεται. Ἧττον δὲ κυρίως εὑρίσκεται ἡ κίνησις ἐν ταῖς ἐνεργείαις τῆς αἰσθητικῆς ψυχῆς· ἐν γὰρ ταύταις οὐκ ἔστιν ἡ κίνησις κατὰ τὸ εἶναι τῆς φύσεως ἀλλὰ μόνον κατὰ τὸ πνευματικὸν εἶναι, ὡς φαίνεται ἐν τῇ ὁράσει, ἧς ἡ ἐνέργεια οὐκ ἔστι πρὸς τὸ φυσικὸν εἶναι
f. 284v ἀλλὰ πρὸς τὸ πνευματικόν· | ἔστι γὰρ δι' εἰδῶν αἰσθητῶν κατὰ τὸ πνευματικὸν εἶναι προσειλημμένων ἐν τῷ ὀφθαλμῷ. Ἀλλ' ὅμως ἔχει τι μεταβλητότητος, καθόσον δηλονότι τὸ ὑποκείμενον τῆς ὀπτικῆς δυνάμεως ἐστὶ τὸ σῶμα· καὶ κατὰ τοῦτο ἔχει τὸν τῆς κινήσεως λόγον, εἰ καὶ ἧττον κυρίως· οὐ γὰρ λέγεται ἡ κίνησις ἐν ταύταις ταῖς ἐνεργείαις κυρίως, εἰ μὴ ὅταν ἡ ἐνέργεια ἐκείνη ᾖ πρὸς τὸ εἶναι τῆς φύσεως. Ἐλάχιστα δὲ

κυρίως κατὰ τὴν ἰδιότητα τῆς κινήσεως καὶ μεταφορικῶς, ὡς εἰπεῖν, εὑρίσκεται ἐν τῷ νῷ· ἐν γὰρ τῇ ἐνεργείᾳ τοῦ νοῦ οὐκ ἔστι μεταβολὴ κατὰ τὸ φυσικὸν εἶναι, ὡς ἐν τῇ ἐνεργείᾳ τοῦ θρεπτικοῦ· οὐδὲ ὑποκείμενον φυσικὸν ὅπερ μεταβάλλεται, ὡς ἐν τῷ αἰσθητικῷ· ἀλλ' ἔστιν αὐτὴ ἡ ἐνέργεια, ἥτις τρόπῳ τινὶ λέγεται κίνησις, καθόσον ἐκ τοῦ δυνάμει νοοῦντος ἐνεργείᾳ γίνεται νοῶν. Διαφέρει μέντοι τῆς κινήσεως, ὅτι ἡ μὲν ἐνέργεια ἐστὶ κίνησις τοῦ τελείου, ἡ δὲ κίνησις ἐστὶν ἐνέργεια τοῦ ἀτελοῦς· καὶ διὰ τοῦτο δῆλον ἐστίν, ὅπως αἱ τῆς θρεπτικῆς καὶ αἰσθητικῆς ψυχῆς ἐνέργειαι οὐκ εἰσὶ κινήσεις τῆς ψυχῆς ἀλλὰ τοῦ συναμφοτέρου. Αἱ ἐνέργειαι δὲ τοῦ νοῦ οὐκ εἰσὶ κινήσεις οὐδὲ λέγονται εἰ μὴ μεταφορικῶς, καὶ εἰσὶ μόνον τῆς νοερᾶς ψυχῆς χωρὶς τινὸς ὡρισμένου ὀργάνου.

Ἰστέον μέντοι ὅτι, ὥσπερ ἐν τῇ αἰσθήσει εὑρίσκεται ἡ ὀρεκτικὴ καὶ καταληπτικὴ δύναμις, οὕτω καὶ ἐν τῷ νῷ εὑρίσκεται ἡ ὀρεκτικὴ καὶ καταληπτική· καὶ διὰ τοῦτο ἡ ἀγάπη, τὸ μῖσος καὶ τὰ τοιαῦτα δύνανται νοεῖσθαι καὶ ὡς ὄντα ἐν τῇ αἰσθητικῇ ὀρέξει· καὶ οὕτως ἔχουσι τὴν κίνησιν σωματικὴν καὶ συνεζευγμένην· καὶ ὡς ὄντα ἐν τῷ νῷ καὶ τῇ θελήσει μόνον χωρὶς πάσης διαθέσεως αἰσθητικῆς· καὶ οὕτως οὐ δύνανται λέγεσθαι κινήσεις, διότι οὐκ ἔχουσι τὴν κίνησιν σωματικὴν καὶ συνεζευγμένην. Εὑρίσκονται ἔτι καὶ ἐν ταῖς χωρισταῖς οὐσίαις, καθάπερ ἐν τοῖς ἑπομένοις βέλτιον δειχθήσεται.

Ὁ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι. Ἐνταῦθα ἑπομένως βούλεται ἀποδεῖξαι ἅπερ εἶπεν, ὅτι αἱ τοιαῦται ἐνέργειαι, κἂν ὦσι κινήσεις, ὡς αὐτὸς ἔλεγεν, οὐ μέντοι γε ἀποδίδονται τῇ ψυχῇ ἀλλὰ τῷ σώματι καὶ τῷ συναμφοτέρῳ. Καὶ δείκνυσι τοῦτο διά τινος δόξης ἐκείνων θρυλλουμένης κατὰ τὸν αὐτοῦ καιρόν, δηλονότι ὅτι πᾶσα ψυχὴ ἐστὶν ἄφθαρτος. Καὶ τοῦτο κατ' ἐκείνους ἦν ἀληθὲς οὐ μόνον περὶ τοῦ νοῦ ἀλλὰ καὶ περὶ πάσης ψυχῆς. Φησὶ τοίνυν, ὅτι δοκεῖ τοῖς προειρημένοις φιλοσόφοις τὸν νοῦν εἶναι τινὰ οὐσίαν ἐν τῷ γίνεσθαί τε οὖσαν καὶ μήπω τελείαν, καὶ ὅτι ἄφθαρτον· οὗ δὴ λόγος ἐστίν, ὅτι ἡμεῖς ὁρῶμεν πάσας τὰς ἀσθενείας τὰς γινομένας περί τε τὸν νοῦν καὶ τὴν αἴσθησιν οὐκ ἐφικνουμένας πρὸς αὐτὴν τὴν ψυχὴν καθ' αὑτήν, ἀλλὰ προϊούσας ἐκ τῆς ἀσθενείας τοῦ ὀργάνου· ὅθεν δοκεῖ τὸν νοῦν καὶ πᾶσαν ψυχὴν εἶναι ἄφθαρτον καὶ τὴν ἐν ταῖς τοιαύταις ἐνεργείαις ἀσθένειαν μὴ συμβαίνειν ἐκ τοῦ τὴν ψυχὴν αὐτὴν φθείρεσθαι, ἀλλ' ἐκ τοῦ τὰ ὄργανα ἀσθενεῖν. Εἰ γὰρ διεφθείρετο ἡ ψυχή, μάλιστα ἂν διεφθείρετο ὑπὸ τῆς ἐν γήρᾳ ἀσθενείας καὶ χαυνότητος, ὥσπερ συμβαίνει ἐν τοῖς αἰσθητικοῖς ὀργάνοις ὑπείκουσι καὶ ἀμαυρουμένοις διὰ τὸ γῆρας. Ἡ ψυχὴ μέντοι οὐ χαυνοῦται διὰ τοῦτο οὐδὲ ἀσθενεῖ. Ἂν γὰρ ὁ γέρων λάβῃ ὀφθαλμὸν νεανίου, ὄψεται ὡς ὁ νεανίας· ὅθεν τὸ

---

14 *καταληπτικὴ* corrigé de *ἀντιληπτικὴ* A, *ἀντιληπτικὴ* B

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006